# ἘΠΕΤΗΡΙΣ

## ἙΤΑΙΡΕΙΑΣ ΒΥΖΑΝΤΙΝΩΝ ΣΠΟΥΔΩΝ

### ἜΤΟΣ Ζ΄

Ἐβραβεύθη ὑπὸ τῆς Ἀκαδημίας Ἀθηνῶν καὶ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς ἐνίσχυσιν τῶν Ἑλληνικῶν Σπουδῶν.



ἈΘΗΝΑΙ 1930

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΑΝΘΙΜΟΥ ΑΘΗΝΩΝ

## ΛΟΓΟΣ ΑΝΕΚΔΟΤΟΣ ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΜΕΛΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ ἀρχιεπισκόπου Ἀθηνῶν Ἀνθίμου ἑνὸς τῶν διαπρεπῶν ἱεραρχῶν τῆς ὀρθοδόξου ἐκκλησίας, ἐλαχίστας ἔχομεν εἰδήσεις. Τούτου ἕνεκεν ἐνόμισα ἐπιβεβλημένον νὰ συναθροίσω διὰ φωτογραφιῶν τὰ σῳζόμενα ἔργα αὐτοῦ ὡς καὶ τὰ εἰς αὐτὸν ἀναφερόμενα καὶ μετὰ τὴν ἔκδοσιν αὐτῶν νὰ προσπαθήσω, ὅπως ἐξακριβώσω τὰ ἀφορῶντα εἰς τὸν βίον καὶ τὰ συγγράμματα αὐτοῦ.

Τὰ σῳζόμενα ἔργα τοῦ Ἀνθίμου, ὡς καὶ τὰ ἀναφερόμενα εἰς αὐτόν, εἶναι τὰ ἀκόλουθα:

1. «Λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἄνθιμον, ἀρχιεπίσκοπον Ἀθηνῶν, τὸν ὁμολογητήν».

Ἀρχ. Τῶν διηγήσεων ἐκείνας μᾶλλον θαυμάζουσιν οἱ ἄνθρωποι.

Περιέχεται ἐν τῷ ὑπ' ἀριθμὸν 243 κώδικι τῶν Παρισίων Coislin[1] καταλαμβάνων τὰ φύλλα $191^{α}$ - $204^{β}$.

2. «Λόγος τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Ἀνθίμου τοῦ ἀρχιεπισκόπου Ἀθηνῶν, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλάδος καὶ προέδρου Κρήτης, τοῦ νέου ὁμολογητοῦ, πρός τινα Ἰωσὴφ μοναχόν, ἐκδοθεὶς ἐκ Λάκκου, ἑταῖρον καὶ συμπολίτην αὐτοῦ περὶ τῆς τοῦ ἁγίου Πνεύματος προόδου καὶ ὡς παρ' ἑαυτοῦ ὁ υἱὸς οὐκ ἔχει τὸ Πνεῦμα, ἀλλὰ παρὰ τοῦ Πατρός, ὁ δὲ ἐπίλογος μετ' εὐχῆς ὑπὲρ εἰρήνης καὶ ἑνώσεως τῶν ἐκκλησιῶν».

Ἀρχ. Καλῶς ἐρευνᾶν τὰς Γραφὰς ὁ Κύριος ἐνετείλατο καὶ μὴ παροδικῶς ἀναγινώσκειν αὐτάς.

Περιέχεται ἐν τῷ ὑπ' ἀριθ. 30 (C. 3. 16) κώδικι τῆς ἐν Ῥώμῃ «Bibliotheca Angelica» καταλαμβάνων τὰ φύλλα $352^{α}$ - $358^{β}$ (πρβλ. Piccolomini, Index codicum Craecorum bibliothecae Angelicae ἐν Studi Italiani di filologia classica τόμ. Δ΄. (1896) σ. 64ἑ.).

[1] Συγγραφεὺς τοῦ λόγου τούτου εἶναι ὁ Κωνσταντινουπόλεως Νεῖλος (1379 - 1387). Ὁ κῶδιξ ἔχει γραφῆ κατὰ τὸν δέκατον πέμπτον αἰῶνα καὶ περιέχει πλεῖστα ἔργα τοῦ Νείλου Κωνσταντινουπόλεως (πρβλ. καὶ Κρουμβάχερ - Σωτηριάδου, Ἱστορ. τῆς Βυζ. λογοτ. τόμ. Α΄. σ. 351). Ἔν τινι καταλόγῳ χειρογράφων τῆς μεγίστης Λαύρας τοῦ ἁγίου Ἀθανασίου τοῦ ἁγίου Ὄρους, ἐκδοθέντι ὑπὸ τοῦ Σάθα (Μεσαιων. βιβλ. τόμ. Α΄. σ. 273) ἀναγράφεται «Νεοφύτου Κεραμέως Λόγος εἰς Ἄνθιμον Ἀθηνῶν τὸν ὁμολογητήν». Ὁ λόγος οὗτος, ὡς ἠδυνήθην νὰ ἐξακριβώσω, δὲν ὑπάρχει πλέον ἐν τῇ βιβλιοθήκῃ τῆς μονῆς ταύτης.

ΕΡΓ.Α.ΠΡΣΚ. ΙΩΑΝΝΙΝΑ 2006

3. «Λόγος ἕτερος, ὁπόταν ὁ μητροπολίτης Ἄνθιμος τῆς φρουρᾶς ἐξῆλθεν».

Ἀρχ. Χρέος ἐστὶ τοῖς ὑπὸ χεῖρα πᾶσι κοινὸν τοῦ προσφέρειν ἕκαστον τῷ οἰκείῳ δεσπότῃ.

Περιέχεται ἐν τῷ ἀνωτέρω ὑπ' ἀριθμὸν 30 κώδικι τῆς ἐν Ῥώμῃ βιβλιοθήκης Angelica, καταλαμβάνων τὰ φύλλα 3β - 5β.

4. «Τοῦ αὐτοῦ (Ἀνθίμου) πρὸς τὸν αὐτὸν Ἰωσὴφ ἐπιστολὴ ἐκ Λάκκου»[1].

Ἀρχ. Τίς μοι δώη τοῖς σοῖς, ὦ μακάριε, κἂν μικρὸν ἐφησθῆναι λόγοις.

Περιέχεται ἐν τῷ ἀνωτέρω ὑπ' ἀριθμὸν 30 κώδικι τῆς ἐν Ῥώμῃ βιβλιοθήκης Angelica καταλαμβάνουσα τὰ φύλλα 358β - 359α.

5. «Τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου ἀρχιεπισκόπου Ἀθηνῶν καὶ προέδρου Κρήτης, τοῦ ὁμολογητοῦ, λόγος εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ».

Ἀρχ. Δαυῒδ ὁ θεοπάτωρ καὶ βασιλεὺς καὶ προφήτης γράφει οὕτως ἐν τοῖς ψαλμοῖς.

Περιέχεται ἐν τῷ ὑπ' ἀριθμὸν 229 κώδικι Miscell. τοῦ Ὀξωνίου καταλαμβάνων τὰ φύλλα 129α - 136β (πρβλ. C o x e, Catal. cod. man. bibl. Bolbeianae μέρος πρῶτον 1853 σ. 782 ἀρ. 12)[2].

Ἐκδίδων κατωτέρω τὸν ἀνέκδοτον[3] τοῦτον λόγον τοῦ Ἀνθίμου εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ, παρατηρῶ ὅτι σφάλματά τινα τοῦ κειμένου διώρθωσα, θεωρήσας περιττὸν νὰ ἀναφέρω αὐτά. Παρατηρῶ ἔτι ὅτι ἀξία ἰδιαιτέρας προσοχῆς εἶναι ἡ γνώμη τοῦ συγγραφέως, καθ' ἣν ὁ Θεὸς γινώσκει τὰ παρελθόντα καὶ τὰ μέλλοντα ὡς παρόντα, ἐν ἀντιθέσει πρὸς τὴν γνῶσιν τοῦ ἀνθρώπου γινώσκοντος ταῦτα ὡς τοιαῦτα. «Ὁ Θεὸς δὲ οὕτως βλέπει πάντα καὶ ὅσα ἐγένοντό ποτε καὶ ὅσα γίνονται σήμερον καὶ ὅσα μέλλουσιν ὑπάρξειν ὕστερον, καθὼς βλέπει ὁ ἄνθρωπος τὰ γινόμενα ἔμπροσθεν τῶν ὀφθαλμῶν αὐτοῦ καὶ οὕτως προγινώσκει ὁ Θεὸς τὰ μέλλοντα ὑπάρξειν

[1] Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι ὁ ὑπ' ἀριθμὸν 30 κῶδιξ τῆς βιβλιοθήκης Angelica τῆς Ῥώμης ἔχει γραφῆ, πλὴν τῶν φύλλων 197 - 203, διὰ χειρὸς τοῦ Ἰωσὴφ Φιλάγρη ἀπὸ τοῦ 1393 - 1394, ὅστις εἶναι συγχρόνως καὶ ὁ συγγραφεὺς πολλῶν ἔργων περιεχομένων ἐν αὐτῷ. Ἐν φύλλῳ 117β ἀναγινώσκομεν «Διηρμηνεύθησαν δὲ ἐν τῷ Κοφηνίῳ ὄρει ἐν τῇ μονῇ τῶν τριῶν μεγάλων Ἱεραρχῶν παρὰ Ἰωσὴφ τοῦ Φιλαγρίου, τοῦ τῆς αὐτῆς μονῆς κτήτορος ἐν ἔτει ϚϡΑ' (=1393) ἰνδ. α' μηνὶ Φεβρουαρίῳ ιθ' ἡμέρᾳ δ' τῆς α' ἑβδομάδος τῆς ἁγίας Τεσσαρακοστῆς», καὶ ἐν φύλλῳ 138β «ϚϡΒ'» (=1394). Καὶ ἐκ τῶν ἀνωτέρω δύναται νὰ ἐξακριβωθῇ ὁ χρόνος τῆς ἀκμῆς τοῦ ἡμετέρου Ἀνθίμου ἀρχιεπισκόπου Ἀθηνῶν, τοῦ ἔχοντος ἀλληλογραφίαν πρὸς τὸν Ἰωσὴφ Φιλάγρην.

[2] Ὁ λόγος οὗτος μένει κολοβός, καθόσον ἐν φύλλῳ 136β ἔχουσι γραφῆ δέκα καὶ τέσσαρες στίχοι μόνον, τὸ δὲ ὑπόλοιπον τοῦ φύλλου 136β ὡς καὶ τὸ 137α ἔχουσι μείνει ἄγραφα.

[3] Ἐλάχιστα ἀποσπάσματα ἐκ τοῦ λόγου τούτου ἔχει ἐκδώσει ὁ Σ π. Λ ά μ π ρ ο ς ἐκ τοῦ αὐτοῦ κώδικος ἐν τῇ Ἱστορίᾳ τῆς πόλεως Ἀθηνῶν (τόμ Α'. σ. 116).

ὕστερον, καθὼς γινώσκει ὁ ἄνθρωπος ἐκεῖνα, ἅπερ ἐγένοντο πρὸ αὐτοῦ καὶ ὑπάρχουσιν ἀληθῆ καὶ ὁμολογούμενα» (φύλ. 131α)[1]. Ἀξία ἐπίσης προσοχῆς εἶναι ἡ συλλογιστικὴ ἀπόδειξις αὐτοῦ περὶ τοῦ καλοῦ τοῦ γάμου «εἰ γὰρ κακὸς ὑπῆρχεν ὁ γάμος, οὐκ ἂν ὁ Χριστὸς κατεδέξατο γεννηθῆναι ἀπὸ σαρκὸς ἀνθρωπίνης, ἐπειδὴ δὲ ἐγεννήθη, φανερὸν ὑπάρχει ὅτι καὶ τὸν γάμον τίμιον ἔχει» ὡς καὶ ἡ ἑρμηνεία τοῦ γραφικοῦ χωρίου «οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται» (Ματθ. 22,30) διὰ τοῦ «οὔτε λαμβάνουσιν οἱ ἄνδρες εἰς γάμον γυναῖκας, οὔτε ἀπὸ γάμου χωρίζονται» (φύλ. 135α καὶ β)[2]. Τέλος παρατηρῶ ὅτι τὸ ὕφος καὶ ἡ γλῶσσα τοῦ παρόντος λόγου τοῦ Ἀνθίμου διαφέρουσι τοῦ ὕφους καὶ τῆς γλώσσης τῶν ἄλλων συγγραμμάτων αὐτοῦ καὶ δὴ τοῦ λόγου αὐτοῦ περὶ τῆς προόδου τοῦ ἁγίου Πνεύματος. Τὸ ὕφος καὶ ἡ γλῶσσα τοῦ παρόντος λόγου εἶναι ἁπλούστερα. Καὶ δύναται μὲν νὰ ἐξηγηθῇ ἡ διαφορὰ αὐτὴ ἐκ τῆς διαφορᾶς τοῦ θέματος καὶ τοῦ σκοποῦ τῶν δύο λόγων, πάντως ὅμως εἶναι ἀξία προσοχῆς.

***Τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου ἀρχιεπισκόπου Ἀθηνῶν καὶ προέδρου Κρήτης, τοῦ ὁμολογητοῦ, λόγος εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Δέσποτα*** [3].

Δαυῒδ ὁ θεοπάτωρ καὶ βασιλεὺς καὶ προφήτης γράφει οὕτως ἐν τοῖς Ψαλμοῖς· «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ». Σκοπήσωμεν δὲ ἡμεῖς, ἀδελφοί, περὶ ποίας ἡμέρας ὁ προφήτης λέγει ὅτι ἐποίησεν αὐτὴν ὁ Κύριος. Ἆρα περί τινος τῶν ἡμερῶν τοῦ χρόνου, ἃς ποιεῖ ὁ ἥλιος ἀνατέλλων καὶ δύνων ἢ περί τινος ἄλλης νοουμένης καὶ οὐχ ὁρωμένης ἡμέρας; Καὶ ἐὰν νοήσωμέν τινα τῶν ἡμερῶν τῶν τοῦ χρόνου μέλλομεν δόξειν ὅτι μίαν μόνην ἡμέραν ἐποίησεν ὁ Κύριος, τὰς δὲ ἄλλας ἡμέρας οὐδὲν ἐποίησεν ὁ Κύριος, ἀλλ' ἕτερός τις, ὅπερ ἐστὶ κακὸν καὶ ὀλέθριον. Πάσας γὰρ τὰς ἡμέρας τοῦ χρόνου ὁ Θεὸς ἐποίησεν αὐτάς. Πῶς λοιπὸν ὁ προφήτης περὶ μιᾶς λέγει τὸν λόγον τοῦτον; Καὶ προσέχετε, ἀδελφοί μου, ὅτι οὐ περὶ μιᾶς τῶν ἡμερῶν τοῦ χρόνου λέγει ὁ προφήτης τὸν λόγον, ἀλλὰ περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ τῆς ἐκ Παρθένου γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν λόγον τοῦτον ὁ προφήτης φησίν, ἣν καὶ ἑορτάζομεν καὶ πανηγυρίζομεν καὶ μεγαλύνομεν σήμερον. Διατί δὲ ἡμέραν αὐτὴν ὀνομάζει; Διότι πρὸ τοῦ γεννηθῆναι τὸν Χριστὸν ἦν ὅλος ὁ κόσμος ἐσκοτισμένος ὡς ἐν νυκτὶ βαθείᾳ καὶ ἀσελήνῳ· καὶ γὰρ ὥσπερ ἐν τῇ νυκτὶ καὶ τῷ

[1] Οὕτω λύει ὁ Ἄνθιμος τὸ καὶ σήμερον ἀπασχολοῦν τοὺς δογματικοὺς ζήτημα περὶ τῆς ὑπὸ τοῦ Θεοῦ γνώσεως τῶν παρελθόντων καὶ μελλόντων, δεχόμενος ὅτι ταῦτα γινώσκει ὁ Θεὸς ὡς παρόντα.

[2] Εἶναι φανερὸν ὅτι ἡ συλλογιστικὴ ἀπόδειξις οὐδὲν ἀποδεικνύει, τὸ δὲ ἐκγαμίζονται δὲν δηλοῖ «ἀπὸ τοῦ γάμου χωρίζονται».

[3] Ἐλλείπει τὸ εὐλόγησον.

Ε.Υ. της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

σκότει οὐδὲν δύνανται οἱ ἄνθρωποι, ἵνα γνωρίζῃ ἕκαστος τὸν πλησίον αὐτοῦ, οὕτως ἠγνόησεν ὁ κόσμος τὸν Θεὸν τὸν ἀληθινόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἐφαντάσθη καὶ ἐνόμισεν ὅτι ὁ ἥλιος ὑπάρχει ὁ Θεὸς ἢ ἡ θάλασσα καὶ τοσοῦτον ἐπλανήθησαν καὶ ἐσκοτίσθησαν οἱ ἄνθρωποι ὅτι καὶ ἄλογα ζῷα καὶ πέτρας καὶ ξύλα προσεκύνησαν ὡς Θεούς. Ἐπειδὴ οὖν πρῶτον ἐφάνη ὁ νόμος καὶ αἱ γραφαὶ τῶν προφητῶν, ὥσπερ ὄρθρος, ἔπειτα ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀπὸ τῆς νοητῆς ἀνατολῆς τῆς παναγίας παρθένου καὶ Θεοτόκου καὶ ηὔγασε τῷ κόσμῳ τὸ φῶς τῆς θεογνωσίας, διὰ τοῦτο ἡμέραν ὀνομάζει τὴν τοῦ Χριστοῦ παρουσίαν. Ἀλλ' ὁρᾶτε καθαρώτερον τὴν ἡμέραν, ἣν ὁ Κύριος ἐποίησεν. Ὥσπερ ὁ ἥλιος οὗτος ἐξέρχεται ἀπὸ τῆς ἀνατολῆς καὶ λύει τὸ σκότος τῆς νυκτὸς καὶ ἐξεγείρει τοὺς ἀνθρώπους ἀπὸ τοῦ ὕπνου καὶ διεγείρει τούτους πρὸς ἐργασίαν τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων καὶ πάλιν ἀπέρχεται εἰς τὴν δύσιν καὶ οὕτω τὴν ἡμέραν ἐργάζεται, καθὼς ὑπάρχει παρὰ τοῦ δημιουργοῦ τεταγμένος, οὕτως ἐγεννήθη καὶ ἀνέτειλε καὶ ὁ ποιητὴς τοῦ ἡλίου, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπὸ τῆς λογικῆς ἀνατολῆς, τῆς παναμώμου Θεοτόκου, ἣν καὶ ὁ προφήτης Ἀββακοὺμ θαιμὰν καὶ ἀνατολὴν ὀνομάζων οὕτω φησίν· ὁ Θεὸς ἀπὸ θαιμὰν ἥξει. Καὶ ἔδωκε τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ προστάγματα τοῖς ἀνθρώποις, ἅτινα ὑπάρχουσι τὸ φῶς, καθώς φησιν Ἡσαΐας· «διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς» καὶ ἔλυσε τὴν νύκτα καὶ τὸ σκότος τῆς ἀγνωσίας τοῦ Θεοῦ καὶ ἐξήγειρε τοὺς ἀνθρώπους ἀπὸ τοῦ ὕπνου τῆς ῥαθυμίας καὶ τῆς κακοφροσύνης καὶ διήγειρεν αὐτοὺς πρὸς ἐργασίαν πάσης ἀγαθῆς πολιτείας, ἥτις ὑπάρχει χρήσιμος καὶ ἀναγκαία τοῖς ἐργαζομένοις αὐτὴν πρὸς τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς. Καὶ τοῦτο δὲ βλέπετε ὅτι ὁ ἥλιος οὗτος, τὸ ποίημα τοῦ Θεοῦ, μικρὰν καὶ σύντομον ἐργάζεται τὴν ἡμέραν, ἀσθενὴς καὶ ἀδύνατος ὑπάρχων ὡς δοῦλος, ὁ δὲ Κύριος ἡμῶν καὶ τοῦ ἡλίου δεσπότης, ἀφοῦ ἐγεννήθη καὶ ἀνέτειλε καὶ ἐφάνη ἀπὸ τῆς πανενδόξου Θεοτόκου τριάκοντα καὶ τρεῖς χρόνους μετὰ τῶν ἀνθρώπων συνανεστράφη καὶ πάλιν ἔδυ καὶ ἐκρύβη ὑπὸ τὴν γῆν, ὅτε ἐσταυρώθη καὶ ἀπέθανε καὶ ἐτάφη. Καὶ πάλιν ὁ μὲν ἥλιος οὗτος διὰ τὴν ἀδυναμίαν αὐτοῦ πολλάκις ἀνατέλλει καὶ δύνει, διότι οὐδὲν δύναται καὶ μετὰ τὴν δύσιν ἵνα φωτίζῃ, ἀλλ' ἡνίκα κρυβῇ καὶ τὸ φῶς αὐτοῦ συναπέρχεται καὶ πάλιν γίνεται σκότος, ὁ δὲ ἰσχυρὸς καὶ παντοδύναμος Κύριος ἅπαξ ἀνέτειλε καὶ ποιήσας μίαν ἡμέραν τριάκοντα καὶ τριῶν χρόνων ἔδυ μὲν καὶ ἐκρύβη σωματικῶς, τὸ δὲ φῶς τῆς θεότητος καὶ τῆς ἀναστάσεως αὐτοῦ πάντοτε ἐν ὅλῳ τῷ κόσμῳ λάμπει καὶ οὐκέτι ἔχει χρείαν, ἵνα πάλιν ἀνατέλλῃ καὶ δύνῃ. Διατί δὲ οὐκ εἶπεν ὁ μακάριος Δαυῒδ ὅτι αὕτη ἡ ἡμέρα ἣν ποιήσειν μέλλει ὁ Κύριος ὕστερον μετὰ πολλοὺς χρόνους, ἀλλ' εἶπεν· ἣν ἐποίησεν ὁ Κύριος, ὥσπερ ἂν εἰ προέλαβε καὶ ἐγένετο· καὶ γὰρ ὁ Δαυῒδ ὑπῆρχε πρὸ χρόνων πολλῶν πρότερον τῆς παρουσίας τοῦ Χριστοῦ καὶ ὕστερον μετὰ πολλοὺς χρόνους ἐγεννήθη ἐκ τοῦ σπέρματος Δαυῒδ ὁ Χριστὸς καὶ ηὔγασε τὸ φῶς

καὶ ἡ ἡμέρα τῆς θεογνωσίας. Πῶς ὡς παρελθούσης καὶ ἤδη γεγενημένης μνημονεύει τῆς τοῦ Χριστοῦ παρουσίας; Καὶ προσέχετε παρακαλῶ· πᾶς ἄνθρωπος τὰ ἅπερ γίνονται ἔμπροσθεν αὐτοῦ ἐκεῖνα βλέπει καὶ τὰ γενόμενα ὄπισθεν αὐτοῦ ἢ καὶ πρὸ τοῦ γεννηθῆναι αὐτὸν παρ᾽ ἄλλων ἀκούει καὶ μανθάνει αὐτὰ τὰ πράγματα, τὰ δὲ μέλλοντα, ἅτινα βούλεται ποιήσειν ὁ Θεὸς μετὰ πολλοὺς χρόνους οὐδὲν δύναται ἄνθρωπος ἵνα προγινώσκῃ αὐτά, ὁ Θεὸς δὲ οὕτως βλέπει πάντα καὶ ὅσα ἐγένοντό ποτε καὶ ὅσα γίνονται σήμερον καὶ ὅσα μέλλουσιν ὑπάρξειν ὕστερον, καθὼς βλέπει ὁ ἄνθρωπος τὰ γινόμενα ἔμπροσθεν τῶν ὀφθαλμῶν αὐτοῦ καὶ οὕτως προγινώσκει ὁ Θεὸς τὰ μέλλοντα ὑπάρξειν ὕστερον, καθὼς γινώσκει ὁ ἄνθρωπος ἐκεῖνα, ἅπερ ἐγένοντο πρὸ αὐτοῦ καὶ ὑπάρχουσιν ἀληθῆ καὶ ὁμολογούμενα. Ἐπειδὴ οὖν ὁ προφήτης οὕτως προεγίνωσκεν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ τὴν ἔνσαρκον οἰκονομίαν, ὥσπερ ἂν ἐγένετο πρὸ πολλῶν χρόνων πρὸ τοῦ γεννηθῆναι αὐτόν, διὰ τοῦτο εἶπεν· ἣν ἐποίησεν ὁ Κύριος καὶ οὐδὲν εἶπεν ἣν μέλλει ποιήσειν, αὕτη ἡ ἡμέρα, ἤγουν ἡ γέννησις καὶ ἡ παρουσία τοῦ Χριστοῦ, ἣν ἐποίησεν, ἤγουν ἣν μέλλει ποιήσειν ὁ Κύριος, ἤγουν ὁ δεσπότης Χριστός. Ἐνόμισαν δέ τινες ἀσεβεῖς ἄνθρωποι, ὅτι ὁ Χριστὸς οὐδὲν ὑπῆρχε πρότερον, πρὸ τοῦ γεννηθῆναι, ἀλλὰ τότε, ὅτε ἐγεννήθη ἀπὸ τῆς πανάγνου Μαρίας ἐγένετο ἀρχὴν καὶ διὰ τοῦτο ἔλεγον ὅτι ὑπάρχει δοῦλος καὶ κτίσμα καὶ ποίημα τοῦ Θεοῦ μὴ νοοῦντες οἱ ἄθλιοι ὅτι ὁ Χριστὸς λόγος ὑπάρχει τοῦ Θεοῦ καὶ ὁ λόγος τοῦ Θεοῦ ποτὲ ἀπὸ τοῦ Θεοῦ οὐδὲν ἔλειπεν, ἀλλὰ πάντοτε ἦν πρὸς τὸν Θεὸν καὶ ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐδὲν δὲ ἐφαίνετο πάντοτε, ἀλλὰ κεκρυμμένος ὑπῆρχε καὶ ὅταν ἠθέλησε, τότε ἦλθε καὶ κατῴκησεν ἐν τῇ μήτρᾳ τῆς παναγίας παρθένου καὶ ἐσαρκώθη καὶ τότε ἐγεννήθη καὶ ἐφάνη μετὰ τῆς σαρκὸς ἐξ αὐτῆς. Καὶ πάλιν ἄλλοι λέγουσιν ὅτι ὁ Χριστὸς ἕως τότε ἔζη, ἕως ὅτε ἐσταυρώθη καὶ ἀπέθανε καὶ πλέον οὐδὲν ζῇ. Ἡμεῖς δὲ ὁμολογοῦμεν ὅτι καὶ μετὰ τὸ ἀποθανεῖν πάλιν ἀνέστη ἀπὸ τῶν νεκρῶν καὶ ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ κάθηται ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς καὶ πάλιν μέλλει ἐλθεῖν ἵνα κρίνῃ καὶ τοὺς ζῶντας καὶ τοὺς νεκρούς. Δεύτερον δὲ ἐγεννήθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Τὸ πρῶτον ἐγεννήθη ἀπὸ τοῦ Θεοῦ καὶ πατρὸς πρὸ πάντων τῶν αἰώνων δίχα μητρὸς ὡς Θεὸς καὶ τὸ δεύτερον ἐγεννήθη, καθὸ ἄνθρωπος, ἐκ τῆς ἁγίας αὐτοῦ μητρὸς ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως δίχα πατρός. Ὥσπερ δὲ ἡ πρώτη γέννησις αὐτοῦ ὑπάρχει ὑπὲρ τὴν γνῶσιν τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων, οὕτως ὑπάρχει καὶ ἡ δευτέρα γέννησις αὐτοῦ ὑπὲρ τὴν γνῶσιν καὶ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων. Καὶ ὥσπερ ἐκείνη ἡ πρώτη ὑπάρχει ἐκ μόνου πατρὸς ἀνάρχου, οὕτως ἐστὶν καὶ ἡ δευτέρα αὕτη ἐκ μόνης μητρὸς ἀφθόρου. Ἑορτάζομεν δὲ σήμερον ἡμεῖς τὴν δευτέραν γέννησιν τοῦ Χριστοῦ, ὅτε ἐγεννήθη ἀπὸ τῆς παρθένου μητρὸς καὶ δίκαιον ὑπάρχει ἵνα πληρώσωμεν τὴν συμβουλὴν καὶ τὴν παραίνεσιν καὶ τὴν ἐντολὴν τοῦ προφήτου, μᾶλλον δὲ τοῦ Θεοῦ, ὅτι ὁ Θεὸς ἐλάλει ἐν τῷ στόματι τοῦ προφήτου. Τί δὲ λέγει καὶ

ὁρίζει ὁ Θεός; Ἵνα ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν τῇ ἡμέρᾳ ταύτῃ καὶ τῇ παρουσίᾳ αὐτοῦ, ἣν ἐποίησε σήμερον. Ὁποίαν δὲ εὐφροσύνην καὶ ὁποίαν ἀγαλλίασιν ἀγαπᾷ ὁ Θεός; Οὐχ ἵνα γελῶμεν, οὐχ ἵνα μεθύωμεν, οὐχ ἵνα σωματικῶς καὶ σαρκικῶς ἑορτάζωμεν καὶ πανηγυρίζωμεν ἐν πορνείαις καὶ μοιχείαις καὶ παντοίαις ἀκαθαρσίαις, καθὼς ἑώρταζον καὶ ἐπανηγύριζον οἱ προσκυνοῦντες τὰ εἴδωλα, ἀλλὰ καθὼς πρέπει τοῖς χριστιανοῖς, καθὼς ἁρμόζει, ἵνα ἑορτάζωσιν οἱ ἅγιοι καὶ ἵνα τιμῶσι καὶ δοξάζωσι τὸν γεννηθέντα Χριστὸν σήμερον ἐν ψαλμῳδίαις, ἐν προσευχαῖς, ἐν νηστείαις, ἐν ἐλεημοσύναις, ἐν ἀγρυπνίαις, ἐν φόβῳ Θεοῦ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ καὶ ἀληθινῇ, ἐν σωφροσύνῃ καὶ ἁγιασμῷ ψυχῆς καὶ σώματος, ἐν ἀληθείᾳ. Καὶ καθὼς ὕμνησαν αὐτὸν οἱ ἄγγελοι χαίροντες καὶ ἀγαλλόμενοι ἐπὶ τῇ γεννήσει αὐτοῦ, οὕτως καὶ ἡμεῖς ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐπὶ τῷ κατελθόντι ἀπὸ τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς καὶ ὑμνήσωμεν αὐτὸν λέγοντες σὺν ἐκείνοις· δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, ὅτι διὰ τοῦτο κατῆλθεν, ἵνα ἀναβιβάσῃ ἡμᾶς ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν. Προσδράμωμεν πρὸς αὐτὸν τὸν Χριστόν, καθὼς οἱ ποιμένες προσέδραμον πρὸς αὐτὸν μετὰ σπουδῆς, καὶ προσκυνήσωμεν αὐτὸν μετὰ τῶν μάγων ἀποβαλλόμενοι καὶ ἀποφεύγοντες τὰς γοητείας καὶ τὰς μαγείας, καθὼς κατήργησαν ταῦτα καὶ ἐμίσησαν ἀπὸ ψυχῆς καὶ ἐκεῖνοι, ἀφοῦ τὸν Χριστὸν προσεκύνησαν, καὶ μηδεὶς πρὸς μάγους καὶ γόητας προστρεχέτω, μηδὲ μισθοὺς αὐτοῖς διδότω, ἵνα ἐνεργῶσι τὴν ἀσέβειαν ταύτην, ὅτι τὸν διάβολον προσκυνοῦσι καὶ λατρεύουσιν ὡς Θεὸν κἂν προσκυνοῦσιν ἔμπροσθεν τῶν ἀνθρώπων τὸν Χριστόν, διὰ τὸ ἀρέσκειν τοῖς ἀνθρώποις, κἂν τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τῆς Θεοτόκου καὶ τοῦ σταυροῦ καὶ τῶν ἁγίων ὀνομάζουσι πρὸς ἀπάτην τῶν προσερχομένων αὐτοῖς ἀθλίων καὶ ἐλεεινῶν καὶ χωρικῶν ἀνθρώπων· εἴ τι γὰρ ἐνεργοῦσιν ἀπὸ ἐνεργείας τοῦ σατανᾶ γίνεται καὶ εἴ τις αὐτοῖς προσέρχεται καὶ δίδωσιν αὐτοῖς μισθόν, ἵνα τὴν ἀσέβειαν ταύτην ἐνεργῶσι, μετὰ τοῦ διαβόλου εἰς τὴν γέεναν τοῦ πυρὸς κατακριθήσεται, ἵνα κολάζηται εἰς πάντας τοὺς αἰῶνας. Εἴ τις προστρέχει τοῖς μάγοις καὶ γόησι, κἂν ἄνδρες ὑπάρχωσι κἂν γυναῖκες, ὑβρίζει τὸν Χριστὸν καὶ προτιμᾷ τὸν Ἀντίχριστον καὶ ἔσται ἡ μερὶς αὐτοῦ μετ᾽ ἐκείνου καὶ μηδὲ εἰς ἐκκλησίαν τολμήσει ἵνα εἰσέλθῃ, εἰ μὴ κλαύσει καὶ μετανοήσει γνησίως πρότερον. Προσάξωμεν δὲ καὶ ἡμεῖς δῶρα τῷ γεννηθέντι Χριστῷ σήμερον, καθόσον εὐπορεῖ καὶ δύναται ἕκαστος, ὁ μὲν δότω ἀπὸ τοῦ βίου καὶ τῶν χρημάτων αὐτοῦ ποῦ μὲν τοῖς πένησιν ἐλεημοσύνην, ποῦ δὲ εἰς ἐκκλησιῶν ἀνοικοδομὴν καὶ εὐπρέπειαν καὶ θυσίαν. Καθὼς καὶ ἐκεῖνοι οἱ μάγοι τῷ Χριστῷ χρυσίον προσέφερον, δῶμεν καὶ ἡμεῖς αὐτῷ χρυσίον ὡς βασιλεῖ καὶ δεσπότῃ πάσης βασιλείας καὶ αὐθεντείας. Δῶμεν αὐτῷ λίβανον ὡς Θεῷ εἰς θυμίαμα· τῷ Θεῷ γὰρ τὸ θυμίαμα πρέπει. Οὐ μόνον τὸ αἰσθητὸν καὶ ὁρώμενον τοῦτο θυμίαμα, ὃ προσφέρομεν ἐν τοῖς θείοις ναοῖς, ἀλλὰ προσευχὴν μάλιστα καθαρὰν ἀπὸ καρδίας μεμιγμέ-

νην μετὰ δακρύων ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν προσαγομένην, καθὼς καὶ λέγομεν μετὰ τοῦ Δαυῒδ κατευθυνθήτω ἡ προσευχὴ ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου Κύριε, καθὼς καὶ οἱ μάγοι λίβανον τῷ Κυρίῳ προσέφερον. Προσάξωμεν τῷ Κυρίῳ ἡμῶν σμύρναν σὺν τοῖς μάγοις, ἣν προσέφερον αὐτῷ ἐκεῖνοι αὐτίκα γεννηθέντι τὸν θάνατον αὐτοῦ προμηνύοντες· τοὺς νεκροὺς γὰρ μετὰ σμύρνης ἐνεταφίαζον οἱ Ἰουδαῖοι. Διότι γοῦν ἐβούλετο τὸ ἀποθανεῖν ὁ Κύριος ὕστερον καὶ ὡς νεκρὸς ἐνταφιασθῆναι καὶ ἐναλειφθῆναι μετὰ τῆς σμύρνης, ἐκίνησε τὰς καρδίας τῶν μάγων ἐκείνων καὶ τὴν σμύρναν προσέφερον. Ἀλλ' ἡμεῖς ἀντὶ τῆς σμύρνης, ἥτις ὑπάρχει πικρὰ καὶ κολλητική, προσάξωμεν τῷ γεννηθέντι Χριστῷ τὴν ἀγάπην, ἥτις συγκολλᾷ καὶ συνδεσμεῖ ἡμᾶς τῷ Θεῷ καὶ τοῖς ἀδελφοῖς ἡμῶν, προσάξωμεν δὲ καὶ τὴν νηστείαν καὶ ἀγρυπνίαν καὶ πᾶσαν ἄλλην ἀσκητικὴν κακοπάθειαν, ἥτις πικραίνει καὶ ταπεινοῖ καὶ ξηραίνει ἡμῶν τὰ σώματα. Προσάξωμεν τῷ Χριστῷ ἐλεημοσύνην, τὴν παντὸς χρυσίου τιμιωτέραν καὶ προτιμοτέραν· εἴ τις γὰρ ἄνθρωπος ἀγαπᾷ τὸ χρυσίον, οὐ δύναταί ποτε ἵνα γένηται ἐλεήμων, εἰ δὲ μισήσει τὸ χρυσίον καὶ σκορπίσει αὐτὸ εἰς τοὺς πένητας, ἀγοράζει δι' αὐτοῦ τὴν ἐλεημοσύνην καὶ ταύτην διδοὺς τῷ Θεῷ καὶ βασιλεῖ τῶν αἰώνων εὑρίσκει πρὸς αὐτὸν παρρησίαν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ ταύτης λαμβάνει παρὰ τοῦ Θεοῦ. Προσάξωμεν τῷ Θεῷ σωφροσύνην καὶ καθαρότητα ψυχῆς καὶ σώματος, τῷ καθαρῷ καὶ ὑπεραγίῳ Θεῷ, τῷ καθαρῶς καὶ ἀπαθῶς καὶ ἀφθόρως ἐκ τῆς καθαρᾶς καὶ πανάγνου Μαρίας σήμερον γεννηθέντι, διὰ τοῦτο γὰρ ὁ Χριστὸς ἐγεννήθη ἐκ παρθένου, ἵνα τὴν παρθενίαν ἡμᾶς διδάξῃ καὶ τὴν σωφροσύνην οὐ διὰ λόγου ἀλλὰ δι' ἔργου, ὅπερ μάλιστα διεγείρει τοὺς διδασκομένους πρὸς μίμησιν. Ἐκ παρθένου ἐγεννήθη καὶ παρθένον πάλιν τὴν ἰδίαν μητέρα ἐφύλαξεν. Ἐκ παρθένου ἐγεννήθη καὶ αὐτὸς παρθένον τὸ πανάχραντον καὶ παντὸς ἁγιασμοῦ ὑπεράγιον αὐτοῦ σῶμα ἐτήρησεν. Ἀλλὰ καὶ τὸν σεμνὸν γάμον καὶ ἀμίαντον τιμᾷ ὁ Χριστὸς διὰ τῆς οἰκείας γεννήσεως, διότι ἀπὸ γυναικὸς ἐγεννήθη. Εἰ γὰρ κακὸς ὑπῆρχεν ὁ γάμος, οὐκ ἂν ὁ Χριστὸς κατεδέξατο γεννηθῆναι ἀπὸ σαρκὸς ἀνθρωπίνης, ἐπειδὴ δὲ ἐγεννήθη, φανερὸν ὑπάρχει ὅτι καὶ τὸν γάμον τίμιον ἔχει. Ἄλλως τε καὶ τὸν ἐν Κανᾷ γάμον αὐτὸς ηὐλόγησε καὶ διὰ θαύματος μεγάλου αὐτὸν ἐδόξασε ποιήσας τὸ ὕδωρ οἶνον. Τιμᾷ οὖν καὶ τὸν γάμον, ἀλλὰ προτιμοτέραν ἔχει τὴν παρθενίαν, διότι ὁ γάμος ἀνθρώπινον ἔργον καὶ φυσικὸν τῇ σαρκὶ ὑπάρχει καὶ ἀντὶ τῆς ἀθανασίας καὶ ἀφθαρσίας ἔδωκεν αὐτὸν ὁ Θεὸς τοῖς ἀνθρώποις, ἵνα κατὰ διαδοχὴν πάντοτε οἱ ἄνθρωποι διαμένωσιν, ἡ δὲ παρθενία ἀγγελικὸν ἔργον ὑπάρχει, καὶ ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπίνην. Καὶ ὁ μὲν γάμος ἄχρι τῆς παρούσης ζωῆς ἐνεργεῖται, ἡ δὲ παρθενία καὶ ἐν τῷ παρόντι καὶ πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι αἰῶνι διαμένει, καθὼς εἶπεν ὁ Κύριος πρὸς τοὺς Σαδδουκαίους ὅτι ἐν τῇ ἀναστάσει οὔτε λαμβάνουσιν οἱ ἄνδρες εἰς γάμον γυναῖκας, οὔτε ἀπὸ γάμου χωρίζονται, ἀλλ' εἰσὶν ὡς ἀγγε-

λοι Θεοῦ, ἤγουν ἐν παρθενίᾳ διάγοντες. Ἐν σπηλαίῳ γεννᾶται ὁ Κύριος ταπεινῷ καὶ πενιχρῷ, ἵνα τὸν ἄνθρωπον σπήλαιον γενόμενον καὶ κατοικητήριον τοῦ λῃστοῦ καὶ ἀνθρωποκτόνου διαβόλου, τοῦ δεινοῦ καὶ παμπονήρου διαβόλου, ναὸν καὶ οἶκον ποιήσῃ τοῦ ἁγίου Πνεύματος, ἐξελάσας πρότερον καὶ ἐκσπηλαιώσας ἀπ' αὐτοῦ τὸν ἐχθρόν, τὸν ἀλαζόνα καὶ ὑπερήφανον, καὶ ἵνα διδάξῃ ἡμᾶς τὴν πτωχείαν καὶ τὴν ταπείνωσιν. Ἐν φάτνῃ ἀλόγων ζῴων ἀνεκλήθη καὶ ἐτέθη ὡς νήπιον, ἵνα ἡμᾶς τῆς νηπιοφροσύνης καὶ μωρίας καὶ ἀλογίας ἀπολυτρώσηται. Νέον βρέφος ὡράθη, ἵνα καθάρῃ ἡμᾶς ἀπὸ πάσης πονηρίας καὶ παλαιότητος καὶ ποιήσῃ νέους καὶ ἀκάκους καὶ . . .

Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006